*Πῶς ἄν τις ἀληθέστερόν τε καὶ σαφέστερον τὴν νῦν* 36
*δὴ κατέχουσαν ἀπαιδευσίαν ἐξελέγχοι καὶ οἴησιν; τῶν γὰρ δὴ φιλοσόφων ὁ κολοφὼν οὐκ ἐν μαθήσει γραμμάτων, ἀλλ' ἐν ἀληθείας γνώσει τὴν σοφίαν ὁρίζεται· καὶ τοὺς μὲν ταύτην ἐπισταμένους, κἂν μηδὲ τὰ πρῶτα στοιχεῖα γινώσκοιεν, ὀνομάζει σοφούς· τοὺς δὲ διὰ πάσης ἐληλυθότας παιδείας, ἀληθείας δὲ καὶ δικαιοσύνης τὴν ἐπιστήμην οὐκ ἔχοντας, ἀποκρίνει καὶ ἐξελαύνει καὶ ἄρχειν οὐκ ἐπιτρέπει. καὶ μέν-* 37
*τοι κἀν τῷ Θεαιτήτῳ τοὺς μετεωρολέσχας διαβάλλων ὧδε λέγει· „ὥσπερ καὶ Θαλῆν ἀστρονομοῦντα, ὦ Θεόδωρε, καὶ ἄνω βλέποντα, πεσόντα εἰς φρέαρ, Θρᾷττά τις ἐμμελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀποσκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν οὐρανῷ προθυμοῖτο εἰδέναι, τὰ δ' ὄπισθεν αὐτοῦ καὶ παρὰ πόδας λανθάνοι αὐτόν.“ καὶ αὖθις ἐν τῷ αὐτῷ διαλόγῳ·* 38
*„ἄγροικον δέ τινα καὶ ἀπαίδευτον ὑπὸ ἀσχολίας οὐδὲν ἧττον τῶν νομέων τὸν τοιοῦτον ἀναγκαῖον γίνεσθαι, σηκὸν ἐν ὄρει τὸ τεῖχος περιβαλλόμενον. γῆς δὲ ὅταν μυρία πλέθρα, | ἢ εἴ τι πλέον ἀκούσῃ ὥς τις ἄρα κεκτημένος θαυ-* **p. 10**
*μαστὰ πλήθη κέκτηται, πάντα σμικρὰ δοκεῖ ἀκούειν, εἰς ἅπασαν εἰωθὼς τὴν γῆν βλέπειν.“ πρὸς δὲ τούτοις ἐπιλέγει* 39
*καὶ ταῦτα· „ἡ μὲν γὰρ τούτου γνῶσίς τε καὶ ἀρετὴ ἀληθινή, ἡ δὲ ἄγνοια καὶ κακία ἐναργής, αἱ δὲ ἄλλαι δεινότητες*